τῶν κύρβεων καὶ τῶν στηλῶν κατὰ τὰς συγγραφάς, ὅτι
καὶ τῆς πόλεως κατηγορεῖ· ταῦτα γὰρ ὑμεῖς ἐψηφί-
σασθε. ἔπειτα εἰ ταῦτα νομίζεις δεινά, ἦ που σφόδρα
ἐκείνους ἡγεῖ ἀδικεῖν, οἳ τὰ ἐκ τῶν κύρβεων μόνον
ἔθυον. καίτοι, ὦ ἄνδρες δικασταί, περὶ εὐσεβείας οὐ 18
παρὰ Νικομάχου ⟨χρὴ⟩ μανθάνειν, ἀλλ' ἐκ τῶν γεγενη-
μένων σκοπεῖν. οἱ τοίνυν πρόγονοι τὰ ἐκ τῶν κύρβεων
θύοντες μεγίστην καὶ εὐδαιμονεστάτην τῶν Ἑλληνίδων
τὴν πόλιν παρέδοσαν, ὥστε ἄξιον ἡμῖν τὰς αὐτὰς ἐκεί-
νοις θυσίας ποιεῖσθαι, καὶ εἰ μηδὲν δι' ἄλλο, τῆς τύχης
ἕνεκα τῆς ἐξ ἐκείνων τῶν ἱερῶν γεγενημένης. πῶς | δ' 19
ἂν τις εὐσεβέστερος γένοιτο ἐμοῦ, ὅστις ἀξιῶ πρῶτον
μὲν κατὰ τὰ πάτρια θύειν, ἔπειτα ἃ μᾶλλον συμφέρει
τῇ πόλει, ἔτι δὲ ἃ ὁ δῆμος ἐψηφίσατο καὶ δυνησόμεθα
δαπανᾶν ἐκ τῶν προσιόντων χρημάτων; σὺ δέ, ὦ Νικό-
μαχε, τούτων τἀναντία πεποίηκας· ἀναγράψας γὰρ πλείω
τῶν προσταχθέντων αἴτιος γεγένησαι τὰ προσιόντα χρή-
ματα εἰς ταῦτα μὲν ἀναλίσκεσθαι, ἐν δὲ ταῖς πατρίοις
θυσίαις ἐπιλείπειν. αὐτίκα πέρυσιν ἱερὰ ἄθυτα τριῶν 20
ταλάντων γεγένηται τῶν ἐν ταῖς κύρβεσι γεγραμμένων.
καὶ οὐχ οἷόν τε εἰπεῖν ὡς οὐχ ἱκανὰ ἦν ἃ προσῆλθε τῇ
πόλει· εἰ γὰρ οὗτος μὴ πλείω ἀνέγραψεν ἓξ ταλάντοις,
εἴς τε τὰς θυσίας τὰς πατρίους ἂν ἐξήρκεσε καὶ τρία τά-
λαντα ἂν περιεγένετο τῇ πόλει. περὶ δὲ τῶν εἰρημένων
καὶ μάρτυρας ὑμῖν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

Ἐνθυμεῖσθε τοίνυν, ὦ ἄνδρες δικασταί, ὅτι, ὅταν μὲν 21
κατὰ τὰς συγγραφὰς ποιῶμεν, ἅπαντα τὰ πάτρια θύεται,
ἐπειδὰν δὲ κατὰ τὰς στήλας ἃς οὗτος ἀνέγραψε, πολλὰ τῶν
ἱερῶν καταλύεται. κᾆθ' οὗτος ὁ ἱερόσυλος περιτρέχει,

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/237 UNIVERSITÄT LEIPZIG